UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Isidoro Diacono. 110.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

adhibebunt, supernæ Hierusalem reddet. Quæ enim sursum est Hierusalem, inquit diuinus Paulus, libera est, quæ est mater nostra.

Ἱερουσαλήμ. ἡ γὰρ ἄνω Ἱερουσαλὴμ φησὶν ὁ θεσπέσιος Παῦλος, ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν.

### *Isidoro Diacono.* 110.

Quandoquidem id quod in Euangeliis dictum est, In Sabbato deuteroproto, vt obscurum, tibi exponi rogasti, audi. Deuteroproton dictum est, quia posterius quidem die Paschæ, primum autem Azymorum. Vespere enim Pascha immolantes, postridie Azymorum festum celebrabant, quodquidem etiam deuteroproton appellabant, propterea quòd, vt dixi, dies ille die Paschę posterior esset, Azymorum autem primus. Quódque hoc verum sit, argumento illud est, quòd Apostoli hoc nomine accusati sunt, quia spicas vellerent ac manducarẽt. Hoc enim duntaxat tempore spicæ dirigantur, atque ob fructum, ac messis tempus deorsum propendent, ac velut falcem ad sese vocant. Tertio quippe Azymorũ die, manipulus quoque Deo offerebatur. Ita & ex tẽpore, & ab eo quod factum est, perspicuũ existit, id quod quæris. Quòd si, Sabbato, dictum est, ne tibi id mirum videatur. Sabbatum enim festũ omne nuncupant. Ac propterea dictũ est, Sabbata sabbatorum: quoniam interdum festi principium, aut finis in hebdomadæ sabbato incidebat, quemadmodum etiam apud nos plerunque contingit. Nam cùm Epiphania, aut carnalis Saluatoris natiuitas Dominico die occurrerit, duplicẽ solennitatem efficit, ac velut festum in festo. Eodem quoque modo apud illos si festum in Sabbati diem incidisset, Sabbata sabbatorum vocabatur.

### Ἰσιδώρῳ διακόνῳ. ρι.

Τὸ ἐν σαββάτῳ δευτεροπρώτῳ εἰρημένον ἐν τοῖς εὐαγγελίοις ἑρμηνευθῆναί σοι ὡς ἀσαφὲς παρεκάλεσας. ἄκουε, δευτερόπρωτον εἴρηται, ἐπειδὴ δεύτερον μὲν ἦν τοῦ πάσχα, πρῶτον δὲ τῶν ἀζύμων. ἑσπέρας γὰρ θύοντες τὸ πάσχα τῇ ἑξῆς τὴν τῶν ἀζύμων ἐπανηγύριζον ἑορτήν. ἣν καὶ δευτερόπρωτον ἐκάλουν. διὰ τὸ, ὡς ἔφην, δευτέραν μὲν εἶναι τοῦ πάσχα, πρώτην δὲ τῶν ἀζύμων. καὶ ὅτι τοῦτ' ἔστιν ἀληθὲς, δῆλον ἐκ τοῦ τοὺς ἀποστόλους ἐγκεκλῆσθαι ὡς τίλλοντας τοὺς στάχυας, καὶ ἐσθίοντας. ἐν ἐκείνῳ γὰρ τῷ καιρῷ μόνῳ καρηβαροῦσιν οἱ ἀστάχυες, καὶ κέκλινται ὑπὸ τοῦ καρποῦ, καὶ τῆς πρὸς ἄμητον ὥρας. οἱονεὶ τὴν δρεπάνην ἐφ' ἑαυτοὺς καλοῦντες. τῇ τρίτῃ γοῦν ἡμέρᾳ τῶν ἀζύμων, καὶ τὸ δράγμα προσεφέρετο. οὕτως καὶ ἀπὸ τοῦ καιροῦ, καὶ ἀπὸ τοῦ γεγενημένου δῆλον ἐστὶ τὸ ζητούμενον. εἰ δὲ σαββάτῳ εἴρηται, μὴ θαυμάσῃς. σάββατον γὰρ πᾶσαν ἑορτὴν καλοῦσι. καὶ διὰ τοῦτ' εἴρηται σάββατα σαββάτων. ἐπειδὴ ἔσθ' ὅτε, ἢ ἡ ἀρχὴ τῆς πανηγύρεως, ἢ τὸ τέλος συνέπιπτε τῷ τῆς ἑβδομάδος σαββάτῳ, οἷον εἰπεῖν, καὶ παρ' ἡμῖν πολλάκις γίνεται. ὥσπερ γὰρ ὅταν τὰ θεοφάνια ἢ ἡ τοῦ σωτῆρος Χριστοῦ σαρκικὴ γέννησις ἐν κυριακῇ ἀπαντήσειεν, ποιεῖ διπλῆν τὴν πανήγυριν, οἱονεὶ ἑορτὴν ἐν ἑορτῇ. οὕτω καὶ παρ' ἑαυτοῖς ἢ καὶ ἡ πανήγυρις τῷ σαββάτῳ συνέπιπτε, σάββατα σαββάτων ἐκαλεῖτο.

### *Casio Presbytero.* 111.

Multis ex his, qui pauperum curam susceperunt, in priuatum quæstum tandem

### Κασίῳ πρεσβυτέρῳ. ρια.

Πολλοὶ τὴν τῶν πενήτων φροντίδα προστησάμενοι εἰς τὸν ἴδιον χρηματισμὸν

τελευτῶ-